τὰ cεμνὰ ταῦτ' ἀπῆλθεν ὅθεν ἦλθεν ταχύ,
τὸν ἥλιον τὸν κοινόν, ἄcτρ', ὕδωρ, νέφη,
πῦρ. ταῦτα, κἂν ἑκατὸν ἔτη βιῶιc, ἀεὶ
ὄψει παρόντα, κἂν ἐνιαυτοὺc cφόδρ' ὀλίγουc·
cεμνότερα τούτων ἕτερα δ' οὐκ ὄψει ποτέ.

## 416 b (481 K)

Stobaevs, *Eclogae* iv. 53. 7

πανήγυριν νόμιcόν τιν' εἶναι τὸν χρόνον
ὅν φημι τοῦτον, τὴν ἐπιδημίαν ἄνω·
ὄχλοc, ἀγορά, κλέπται, κυβεῖαι, διατριβαί.
ἂν πρῶιοc ἀπίηιc ⟨καὶ⟩ καταλύcειc βέλτιον.
ἐφόδι' ἔχων ἀπῆλθεc ἐχθρὸc οὐδενί.
ὁ προcδιατρίβων δ' ἐκοπίαcεν ἀπολέcαc
κακῶc τε γηρῶν ἐνδεήc που γίνεται
ῥεμβόμενοc, ἐχθροὺc εὗρ', ἐπεβουλήθη ποθέν,
οὐκ εὐθανάτωc ἀπῆλθεν ἐλθὼν εἰc χρόνον.

## 417 (482 K)

Stobaevs, *Eclogae* i. 6. 1a. Μενάνδρου Ὑποβολιμαίωι·

παύcαcθε νοῦν ἔχοντεc· οὐδὲν γὰρ πλέον
ἀνθρώπινοc νοῦc ἐcτιν, ἀλλ' ὁ τῆc Τύχηc,
εἴτ' ἐcτὶ τοῦτο πνεῦμα θεῖον εἴτε †νοῦc.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41693384X/323 UNIVERSITÄT LEIPZIG